ἡμῶν αἱ ἐκκλησίαι πᾶσαι τῆς ὑμετέρας φιλανθρωπίας μετὰ στεναγμῶν καὶ δακρύων καταδέονται διὰ τῶν ἐπισκόπων, ἐπειδὴ καὶ οἱ ἡμέτεροι πιστῶς ἀντειρήκασιν καὶ αὐτοῖς ἐκείνοις Φλαβιανὸς ὁ ἐπίσκοπος λίβελλον ἐκκλήτου ἐπιδέδωκεν, γενικὴν σύνοδον κελεύσατε ἐν τῆι Ἰταλίαι συνελθεῖν, ἥτις πάντα τὰ προσκόμματα οὕτως ἀποκινήσει καὶ καταπραυνεῖ, ἵνα μὴ περαιτέρω τί ποτε ἢ περὶ τῆς πίστεως εὑρεθῆι ἀμφίβολον ἢ ἐν τῆι ἀγάπηι μεμερισμένον, συνερχομένων δηλαδὴ καὶ τῶν κατὰ τὴν Ἀνατολὴν ἐπαρχιῶν ἐπισκόπων, ἵνα ὅσοι καταπονηθέντες ἀπειλαῖς καὶ ὕβρεσιν ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἐξέκλιναν, εἰς σωτηρίας παραμυθίαν ὁλόκληρον ἀνακληθῶσιν, καὶ αὐτοὶ δὲ ὧν ἐστιν ἡ σκληροτάτη ἀπόφασις, ἐὰν γνώμαις κρείττοσιν ἐπακολουθήσωσιν, ἀπὸ τῆς ἑνότητος τῆς ἐκκλησίας μηδαμῶς ἀποστῶσιν. ὅπως γὰρ μετὰ τὴν ἔκκλητον τοῦτο ἀναγκαίως αἰτοῦμεν, τῶν κατὰ Νίκαιαν κανόνων αἱ ψῆφοι μαρτυροῦσιν, αἵτινες ἀπὸ τῶν πανταχοῦ τοῦ κόσμου ἐπισκόπων καθιδρύθησαν, οὕσπερ ὑπετάξαμεν. συνέλθετε τοῖς καθολικοῖς τῶι ὑμετέρωι πατρώιωι ἔθει καὶ δότε παρρησίαν τῆς πίστεως εἰς ἐκδίκησιν, ἥντινα σωιζομένης τῆς αἰδοῦς τῆς ὑμετέρας εὐσεβείας οὐδεμία βία, οὐδεμία κοσμικὴ ἀπειλὴ δυνήσεται ἀποκινῆσαι. ὅταν γὰρ τῆς ἐκκλησίας τὰ δόγματα γυμνάζωμεν, τῆς ὑμετέρας βασιλείας καὶ σωτηρίας φροντίζομεν, ἵνα τῶν ὑμετέρων ἐπαρχιῶν ἡσύχωι δικαιώματι ἀπολαύητε. ἐκδικήσατε κατέναντι τῶν αἱρετικῶν τὸν ἀσάλευτον τῆς ἐκκλησίας θεσμόν, ἵνα καὶ τῆς ὑμετέρας βασιλείας τῆι δεξιᾶι τοῦ Χριστοῦ ἐκδικηθείη τὸ κράτος.

Ἴσον σάκρας ἀποσταλείσης παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως L IIII 65
Μαρκιανοῦ πρὸς τοὺς ἀπανταχοῦ θεοφιλεστάτους ἐπισκόπους περὶ τοῦ συνελθεῖν πάντας M VI 552
εἰς τὴν Νικαέων

13 Νικηταὶ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς ἔνδοξοι τροπαιοῦχοι ἀεισέβαστοι [Λέοντι καὶ] Ἀνατολίωι. Τῶν πραγμάτων ἁπάντων δεῖ προτιμᾶσθαι τὰ θεῖα· τοῦ θεοῦ γὰρ τοῦ παντοκράτορος εὐμενοῦς καθεστῶτος τὰ τῆς κοινῆς πολιτείας καὶ φυλάττεσθαι καὶ L IIII 68
βελτιοῦσθαι θαρροῦμεν. ἐπειδὴ τοίνυν ἀμφιβολίαι τινὲς περὶ τὴν ὀρθόδοξον θρησκείαν ἡμῶν γεγενῆσθαι δοκοῦσιν, καθάπερ καὶ ἡ ἐπιστολὴ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς ἐνδόξου πόλεως Ῥώμης Λέοντος δηλοῖ, τοῦτο ἰδικῶς τῆι ἡμετέραι ἤρεσεν ἡμερότητι ἵνα ἁγία σύνοδος ἐν τῆι Νικαέων πόλει τῆς Βιθυνῶν ἐπαρχίας συγκροτηθῆι ἐφ' ὧι τε συμβαινόντων τῶν λογισμῶν καὶ πάσης τῆς ἀληθείας ἐρευνηθείσης ἐκποδὼν τε γενομένων τῶν σπουδῶν αἷς πρώην τινὲς χρησάμενοι τὴν ἁγίαν καὶ ὀρθόδοξον θρησκείαν διετάραξαν, τὴν ἀληθῆ πίστιν ἡμῶν εἰς ἅπαντα χρόνον σαφέστερον ἐπιγνωσθῆναι, ὥστε τοῦ λοιποῦ μηδεμίαν δύνασθαι εἶναι ἀμφιβολίαν ἤτοι διχόνοιαν. ὅθεν ἡ ἁγιότης

---

13 = Epist. coll. H 17 et epistularum quae in B ante primam actionem habentur. 1. uersio Latina extat in Rerum Chalcedonensium coll. Vaticana 1 [Λ$^a$], altera in Epist. ante Gesta Coll. 31 [Φ$^{cr}$]

---

MBVHX

1 μετὰ — δακρύων om. MBV 2 ὑμέτεροι HX ἀντείρηκαν X ἀντήρικαν H 2/3 αὐτοῖσ ἐκείνοισ HXΛ αὐτὸσ ἐκείνοισ M αὐτὸσ ἐκεῖνοσ BV 3 λίβελλον ἐκκλησίασ τοῦ φλαβιανοῦ ἐπίσκοποσ ἐπέδωκεν HX 4 τῆι om. HX ἀποκινήσει] ἀπόκειται X 4/5 καὶ — ποτε om. X καταπραύνη B 8 σωτηρίαν X ἐστιν om. BV 9 κρείττοσιν] κρίττωσιν H κηρύττωσιν X 11 καὶ κανόνων X οἵτινεσ HX 12 καθιδρύνθησαν BV καθίδρυνται HX οὕσπερ Λ ὥσπερ MBVHX 13 τῶι] αἰτῶ τῶ HX ἡμετέρω BV πατρώιωι om. HX 14 αἰδῶ MV βία MHXΛ κακία BV 15 τῆς²] τὰ τῆσ HX 16 βασιλείασ HXΛ εὐσεβείασ MBV φροντίζωμεν X δικαιώματα HX 17 ἀπολαύετε M τελεῖ εἴτε HX 18 Χριστοῦ] θῦ HX ἐκνικηθείη V

MBHXΛ$^a$Φ$^{cr}$

19 praem. πρακτικὸν τῆσ δ̄ συνόδου B ἀρχὴ συνό(δ) τῆ ἐν χαλκηδόνι HX 20 ἀπανταχῆ H 22 οἱ νικηταὶ HX 22/23 Λέοντι καὶ deleui 23 καὶ ὡσαύτωσ ἀνατολίω καὶ λοιποῖσ ἐν πᾶσιν HX γὰρ θῦ HX 27 ἰδικῶσ] εἰρηκῶσ HX ἤρεσεν τῆ ἡμῶν HX 28 ἡ ἁγία HX συνκροτηθῆ HX 29 τὲ HXΛ$^a$Φ$^{cr}$ om. MB 31 ἐτάραξαν HX εἰσ ἅπαντα χρόνον HX *cuncto saeculo* Λ$^a$Φ$^{cr}$ om. MB